Ακαδημία Αθηνών / Academy of Athens

*ἀκαμάτων ἀνέμων μένος οἵ τ' ἐπὶ γαῖαν ὀρνύμενοι π ν ο ι α ῖ σ ι καταφθινύθουσιν ἀρούρας.*

**ποδηγετεῖν.** Ποδηγετῶ/χειρίζομαι, guide/manage, Δημόκριτος 173 *ἀνθρώποισι κακὰ ἐξ ἀγαθῶν φύεται, ἐπήν τις τἀγαθὰ μὴ 'πιστῆται π ο δ η γ ε τ ε ῖ ν μηδὲ ὀχεῖν εὐπόρως.*

**ποθέειν.** 'Επιθυμῶ/ποθῶ, desire/long for, 'Εμπεδοκλῆς 110.9 *ἦ σ' ἄφαρ ἐκλείψουσι περιπλομένοιο χρόνοιο σφῶν αὐτῶν π ο θ έ ο ν τ α φίλην ἐπὶ γένναν ἱκέσθαι.* || **ποθεῖσθαι.** 'Εμπεδοκλῆς 21.8 *ἐν δὲ Κότῳ διάμορφα καὶ ἄνδιχα πάντα πέλονται, σὺν δ' ἔβη ἐν Φιλότητι καὶ ἀλλήλοισι π ο θ ε ῖ τ α ι.* Πρβλ. *ἐπιθυμεῖν, πόθος.*

**πόθεν 1.** 'Απὸ ποῦ, whence, Ξενοφάνης 22.4 *τίς π ό θ ε ν εἷς ἀνδρῶν* Παρμενίδης 8.7 *πῇ π ό θ ε ν αὐξηθέν;* 'Εμπεδοκλῆς 14 *π ό θ ε ν οὖν τί κ' ἐπέλθοι;* 17.32 *καὶ π ό θ ε ν ἐλθόν;* **2.** 'Από κάπου, from some place, "Ιππων 1 *οὕτω γὰρ οὐκ ⟨ἂν⟩ ἐκ τῆς θαλάσσης τὸ ὕδωρ εἴη, ἀλλ' ἄλλοθέν π ο θ ε ν.*

**πόθος.** Πόθος, yearning/longing, 'Εμπεδοκλῆς 64 *τῷ δ' ἐπὶ καὶ π ό θ ο ς εἶσι δι' ὄψιος ἀμμιμνήσκων (?).*

**ποιεῖν 1.** Ποιῶ/πλαστουργῶ, shape, Ξενοφάνης 15.4 *βόες δέ τε βουσὶν ὁμοίας καί ⟨κε⟩ θεῶν ἰδέας ἔγραφον καὶ σώματ' ἐ π ο ί ο υ ν τοιαῦθ' οἷόν περ καὐτοὶ δέμας εἶχον ⟨ἕκαστοι⟩* **2.** Πράττω/ἐνεργῶ, do/act, 'Ηράκλειτος 1 *τοὺς δὲ ἄλλους ἀνθρώπους λανθάνει ὁκόσα ἐγερθέντες π ο ι ο ῦ σ ι ν, ὅκωσπερ ὁκόσα εὕδοντες ἐπιλανθάνονται* 5 *μαίνεσθαι δ' ἂν δοκοίη, εἴ τις αὐτὸν ἀνθρώπων ἐπιφράσαιτο οὕτω π ο ι έ ο ν τ α* 73 *οὐ δεῖ ὥσπερ καθεύδοντας π ο ι ε ῖ ν καὶ λέγειν* 112 *σωφρονεῖν ἀρετὴ μεγίστη, καὶ σοφίη ἀληθέα λέγειν καὶ π ο ι ε ῖ ν κατὰ φύσιν ἐπαΐοντας* Δημόκριτος 258 *καὶ ταῦτα ὁ π ο ι ῶ ν εὐθυμίης (?) ... ἐν παντὶ κόσμῳ μέζω μοῖραν μεθέξει* 259 *ὅκωσπερ περὶ κιναδέων τε καὶ ἑρπετέων γεγράφαται τῶν πολεμίων, οὕτω καὶ κατὰ ἀνθρώπων δοκεῖ μοι χρεὼν εἶναι π ο ι ε ῖ ν* 264 *μηδέν τι μᾶλλον τοὺς ἀνθρώπους αἰδεῖσθαι ἑωυτοῦ . . . ἀλλ' ἑωυτὸν μάλιστα αἰδεῖσθαι, καὶ τοῦτον νόμον τῇ ψυχῇ καθεστάναι, ὥστε μηδὲν π ο ι ε ῖ ν ἀνεπιτήδειον* 266.8 *ἀλλά τις ἢ θεσμὸς ἤ τι*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ἄλλο ἀμυνεῖ τῷ τὰ δίκαια ποιεῦντι 279 τοῖς παισὶ ... καὶ ἅμα ἐπιμέλεσθαι αὐτῶν, μή τι ἀτηρὸν ποιέωσι διὰ χειρὸς ἔχοντες. || **κακῶς ποιεῖν - εὐ ποιεῖν.** Δημόκριτος 265 ὥσπερ ⟨γὰρ τὸν⟩ τὰς παρακαταθήκας ἀποδιδόντα οὐ χρὴ ἐπαινεῖσθαι, τὸν δὲ μὴ ἀποδιδόντα κακῶς ἀκούειν καὶ πάσχειν, οὕτω καὶ τὸν ἄρχοντα. οὐ γὰρ ἐπὶ τούτῳ ἡρέθη ὡς κακῶς ποιήσων, ἀλλ' ὡς εὖ

**3.** Ποιῶ/δημιουργῶ, make/create, Ἡράκλειτος 30 κόσμον τόνδε, τὸν αὐτὸν ἁπάντων, οὔτε τις θεῶν οὔτε ἀνθρώπων ἐποίησεν. || Παρμενίδης 1.18 ταὶ δὲ θυρέτρων χάσμ' ἀχανὲς ποίησαν

**4.** Ποιῶ/καθιστῶ, make/constitute, Ἡράκλειτος 53 Πόλεμος ... τοὺς μὲν δούλους ἐποίησε τοὺς δὲ ἐλευθέρους. || Ἡράκλειτος 111 νοῦσος ὑγιείην ἐποίησεν ἡδὺ καὶ ἀγαθόν, λιμὸς κόρον, κάματος ἀνάπαυσιν Ζήνων 2 εἰ γὰρ ἄλλῳ ὄντι ... προσγένοιτο, οὐδὲν ἂν μεῖζον ποιήσειεν Δημόκριτος 81 τὸ ἀεὶ μέλλειν ἀτελέας ποιεῖ τὰς πρήξιας 211 σωφροσύνη τὰ τερπνὰ ἀέξει καὶ ἡδονὴν ἐπιμείζονα ποιεῖ 284 ἢν μὴ πολλῶν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι πολλὰ δόξει· σμικρὰ γὰρ ὄρεξις πενίην ἰσοσθενέα πλούτῳ ποιέει Ἀρχύτας 1.28-45 αἰ γάρ τις ῥάβδον λαβὼν κινοῖ νωθρῶς τε καὶ ἀσθενέως, τᾷ πλαγᾷ βαρὺν ποιήσει τὸν ψόφον ... ὥστε δῆλον ὅτι ἁ ταχεῖα κίνασις ὀξὺν ποιεῖ, ἁ δὲ βραδεῖα βαρὺν τὸν ἆχον **5.** Παράγω/προκαλῶ, produce/bring about, Ἀναξαγόρας 9 βίην δὲ ἡ ταχυτὴς ποιεῖ 19 Ἶριν δὲ καλέομεν ... τὸ γὰρ περιχεόμενον ὕδωρ τῷ νέφει ἄνεμον ἐποίησεν ἢ ἐξέχεεν ὄμβρον Δημόκριτος 186 ὁμοφροσύνη φιλίην ποιεῖ 219 μέζονες γὰρ ὀρέξεις μέζονας ἐνδείας ποιεῦσιν Ἀρχύτας 1.17 ⟨τὰ⟩ δ' ὁμοίως φερόμενα ... περικαταλαμβανόμενα παρὰ τῶν ἐπιφερομένων τυπτόμενα ποιεῖν ψόφον. || Ἀναξαγόρας 12.22 ἡ δὲ περιχώρησις αὐτὴ ἐποίησεν ἀποκρίνεσθαι 13.5 κινουμένων δὲ καὶ διακρινομένων ἡ περιχώρησις πολλῷ μᾶλλον ἐποίει διακρίνεσθαι. || **ποιεῖσθαι 1.** Κατασκευάζω/διαμορφώνω, construct/shape, Ἡράκλειτος 129 Πυθαγόρης Μνησάρχου ἱστορίην ἤσκησεν ἀνθρώπων μάλιστα πάντων καὶ ἐκλεξάμενος ταύτας τὰς συγγραφὰς ἐποιήσατο ἑαυτοῦ σοφίην, πολυμαθίην, κακοτεχνίην **2.** Πράττω/ἐνεργῶ, do/act, Δημόκριτος 265 τῶν ἡμαρτημένων ἄνθρωποι μεμνέαται μᾶλλον ἢ τῶν εὖ πεποιημένων. καὶ γὰρ δίκαιον οὕτως **3.** Δημιουργοῦμαι/διαμορφώνομαι, be created/be shaped, Δημόκριτος 278.9 ἡ μὲν φύσις τοιαύτη πάντων

Ακαδημία Αθηνών / Academy of Athens

*ἐστὶν ὅσσα ψυχὴν ἔχει· τῷ δὲ δὴ ἀνθρώπῳ νομίζον ἤδη π ε π ο ί η τ α ι, ὥστε καὶ ἐπαύρεσίν τινα γίγνεσθαι ἀπὸ τοῦ ἐκγόνου* **4.** Καθιστῶ, constitute, Ἀρχύτας 2.10 *τούτων δ' οἱ μείζονες ἴσον π ο ι ο ῦ ν τ α ι τὸ διάστημα καὶ οἱ μείους.* || **ποιοῦμαι κρίσιν.** Διακρίνω, distinguish, Μέλισσος 7(9) *κ ρ ί σ ι ν δὲ ταύτην χρὴ π ο ι ή σ α σ θ α ι τοῦ πλέω καὶ τοῦ μὴ πλέω· εἰ μὲν οὖν χωρεῖ τι ἢ εἰσδέχεται, οὐ πλέων.* || **ποιεῖσθαι πομπήν.** Τελῶ πομπή, conduct a procession, Ἡράκλειτος 15 *εἰ μὴ γὰρ Διονύσῳ π ο μ π ὴ ν ἐ π ο ι ο ῦ ν τ ο καὶ ὕμνεον ᾆσμα αἰδοίοισιν, ἀναιδέστατα εἴργαστ' ἄν.* || **ποιεῖσθαι σπονδάς.** Κάνω σπονδή, make a libation, Πυθαγόρειοι C 6 (D K I 466,7) *σ π ο ν δ ά ς τε π ο ι ε ῖ σ θ α ι τοῖς θεοῖς κατὰ τὸ οὖς τῶν ἐκπωμάτων.* || **ποιεῖσθαι λόγον.** Δίδω προσοχή, give attention to/pay heed, Δημόκριτος 48 *μωμεομένων φλαύρων ὁ ἀγαθὸς οὐ π ο ι ε ῖ τ α ι λ ό γ ο ν* 187 *ἀνθρώποις ἁρμόδιον ψυχῆς μᾶλλον ἢ σώματος λ ό γ ο ν π ο ι ε ῖ σ θ α ι.* ||**ποιεῖσθαι τὰς ἡδονάς.** Ἀντλῶ ἡδονή/βρίσκω εὐχαρίστηση, derive pleasure/find satisfaction, Δημόκριτος 189 *τοῦτο δ' ἂν εἴη, εἴ τις μὴ ἐπὶ τοῖς θνητοῖσι τ ὰ ς ἡ δ ο ν ὰ ς π ο ι ο ῖ τ ο* 235.2 *ὅσοι ἀπὸ γαστρὸς τ ὰ ς ἡ δ ο ν ὰ ς π ο ι έ ο ν τ α ι ὑπερβεβληκότες τὸν καιρὸν ἐπὶ βρώσεσιν ἢ πόσεσιν ἢ ἀφροδισίοισιν.* || **ποιεῖσθαι ὅρκους.** Ὁρκίζομαι/δίδω ὅρκο, swear/take an oath, Δημόκριτος 239 *ὅ ρ κ ο υ ς οὓς π ο ι έ ο ν τ α ι ἐν ἀνάγκησιν ἐόντες οὐ τηρέουσιν οἱ φλαῦροι, ἐπὴν διαφύγωσιν.* || **ποιεῖσθαι παῖδα ἐκ τῶν φίλων.** Ἀποκτῶ παιδὶ μὲ υἱοθεσία, obtain a child through adoption, Δημόκριτος 277.2 *ὅτεῳ χρήμη τεά ἐστι π α ῖ δ α π ο ι ή σ α σ θ α ι, ἐ κ τ ῶ ν φ ί λ ω ν τεύ μοι δοκεῖ ἄμεινον εἶναι.* || **ποιεῖσθαι παῖδα ἀπὸ ἑωυτοῦ.** Ἀποκτῶ παιδί, engender a child, Δημόκριτος 277.8 *ἢν δέ τις π ο ι ῆ τ α ι (*sc. *π α ῖ δ α) ἀ π ὸ ἑ ω υ τ ο ῦ, πολλοὶ ἔνεισι κίνδυνοι· ἀνάγκη γάρ, ὃς ἂν γένηται, τούτῳ χρῆσθαι.*

**ποιητής.** Ποιητής, poet, Δημόκριτος 18 *π ο ι η τ ὴ ς δὲ ἅσσα μὲν ἂν γράφῃ μετ' ἐνθουσιασμοῦ καὶ ἱεροῦ πνεύματος, καλὰ κάρτα ἐστίν.* Πρβλ. *ποίησις.*

**ποίησις.** Ποίησις, poetry, Δημόκριτος 16a (τίτλ.) Περὶ *π ο ι ή σ ι ο ς.* Πρβλ. *ποιητής.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ